UNIVERSITÄTS-
BIBLIOTHEK
PADERBORN

Universitätsbibliothek Paderborn

# Conciliorvm Omnivm Generalivm Et Provincialivm Collectio Regia

Ephesini Concilii Generalis Pars I. Et II. Sub Cælestino papa I. anno CCCCXXXI.

**Parisiis, 1644**

Item, eiusdem ex quaternione XV.

**urn:nbn:de:hbz:466:1-15062**

Visual Library

inquit, *est Christus secundum carnem, qui est Deus super omnia.* Primo hominem esse fatetur; mox ob eam quam cum Deo sortitus est societatem, hominem illum Deum appellat; ne quis videlicet Christianos hominem colere suspicetur.

### *Eiusdem, ex quaternione* XXVII.

Verum vt rerum omnium opificem Deum appellamus; & Moysen rursum Deum. ait enim: *Constitui te Deum Pharaonis.* & Israel filium Dei: *Nam filius*, inquit, *meus primogenitus Israel est.* & sicut Saül appellatur Christus: *Non enim*, inquit, *iniiciam manum meã in eum, quia Christus Domini est.* & de Cyro similiter dictum est: *Hæc dicit Dominus Christo meo Cyro.* & Babylonios sanctos: *Ego enim*, ait, *præcipiam eis: sanctificati enim sunt; & ego ducam eos.* ita quoque Christum Dominum & Deum, & filium, & sanctum, & Christum appellamus. Verumtamen licet nominum communicatio similis sit, dignitas tamen non eadem existit.

Exod. 7. — Exod. 4. v. 22. — 1. Reg. 24. v. 7. — Isai. 45. — Isa. 13. v. 3.

### *Item, eiusdem ex quaternione* XV.

Phil. 2. v. 5.

*Hoc sapite in vobis, quod & in Christo Iesu: qui cum in forma Dei esset, exinaniuit semetipsum, formam serui accipiens.* Non dixit: Hoc sapite in vobis, quod & in Deo Verbo, quod cum in forma Dei esset, seruilem formam accepit: sed voce Christi, tamquam vtriusque naturæ notionem complectente, accepta, sine periculo illum & serui formam sumpsisse asseuerat, & Deum nominat, di-

φησίν, ὁ Χριστὸς τὸ κατὰ σάρκα, ὁ ὢν ἐπὶ πάντων Θεός. ὁμολογεῖ τὸν ἄνθρωπον πρότερον, καὶ τότε τῇ τοῦ Θεοῦ συναφείᾳ θεολογεῖ τὸ φαινόμενον, ἵνα μηδεὶς * ἀνθρωπολατρείαν τὸν χριστιανισμὸν ὑποπτεύσῃ.

* ἀνθρωπολατρείαν

### Ὁμοίως τοῦ αὐτοῦ, τετραδίου κζ΄.

Ἀλλ᾽ ὥσπερ ἐλέγομεν Θεὸν τὸν πάντων δημιουργὸν, καὶ Θεὸν τὸν Μωϋσέα· Θεὸν γὰρ, φησὶ, τέθεικά σε τοῦ Φαραώ· καὶ υἱὸν τὸν Ἰσραὴλ τοῦ Θεοῦ· υἱὸς γὰρ, φησὶ, πρωτότοκός μου ὁ Ἰσραήλ. καὶ ὥσπερ ἐλέγομεν Χριστὸν τὸν Σαοὺλ· οὐ μὴ γὰρ, φησὶν, ἐπιβαλῶ τὴν χεῖρά μου ἐπ᾽ αὐτὸν, ὅτι Χριστὸς κυρίου ἐστί. καὶ τὸν Κῦρον ὡσαύτως· τάδε λέγει, φησὶ, κύριος τῷ Χριστῷ μου Κύρῳ. καὶ τοὺς Βαβυλωνίους ἁγίους· ἐγὼ γὰρ, φησὶ, συντάξω αὐτοῖς. ἡγιασμένοι εἰσὶ, κἀγὼ ἄγω αὐτούς. οὕτω λέγομεν καὶ τὸν δεσπότην Χριστὸν καὶ Θεὸν, καὶ υἱὸν, καὶ ἅγιον, καὶ Χριστόν. ἀλλ᾽ ἡ μὲν κοινωνία τῶν ὀνομάτων ὁμοία, οὐχ ἡ αὐτὴ δὲ ἀξία.

### Ὁμοίως τοῦ αὐτοῦ, τετραδίου ιε΄.

Τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν Χριστῷ Ἰησοῦ· ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. οὐκ εἶπε· τοῦτο φρονείσθω ἐν ὑμῖν, ὃ καὶ ἐν τῷ Θεῷ λόγῳ, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, μορφὴν δούλου ἔλαβεν· ἀλλὰ λαβὼν τὸ Χριστὸς, * ὡς τῶν δύο φύσεων προσηγορίαν σημαντικὴν, ἀκινδύνως αὐτὸν καὶ δούλου μορφὴν ἀναλαβεῖν, καὶ Θεὸν ὀνομάζει,

* ὡς τὴν δύο φύσεων προσηγορίαν σημαντικὴν, ἀκινδύνως

ANNO CHRISTI 431.

μάζει, τῶν λεγομένων εἰς τὸ τῶν φύσεων ἀλήπτως μεριζομένων διπλοῦν.

ctorum vim in naturarum dualitatem inoffense partiens.

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιϛ'.

*Item eiusdem, ex quaternione* XVI.

Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ, φησί, πᾶν γόνυ κάμψῃ, ἐπουρανίων, καὶ ἐπιγείων, καὶ καταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται, ὅτι κύριος Ἰησοῦς Χριστός. διὰ τὸν φοροῦντα τὸν φορούμενον σέβω· διὰ τὸν κεκρυμμένον προσκυνῶ τὸν φαινόμενον. ἀχώριστος τοῦ φαινομένου θεός· διὰ τοῦτο τοῦ μὴ χωριζομένου τὴν τιμὴν οὐ χωρίζω. χωρίζω τὰς φύσεις, ἀλλ' ἑνῶ τὴν προσκύνησιν.

*Vt in nomine*, inquit, *Iesu, omne genu flectatur, cælestium, & terrestrium, & infernorum; & omnis lingua confiteatur, quia Dominus est Iesus Christus*. Propter gestantem gestatum veneror: propter latentem adoro apparentem. inseparabilis a visibili Deus: atque ideo eius qui non separatur, honorem non separo. naturas separo, sed adorationem coniungo. *Ibid. v. 10.*

Ὁμοίως τοῦ αὐτοῦ, τετράδιον ιζ'.

*Item eiusdem, ex quaternione* XVII.

Ἦν μὲν γὰρ ὁ θεὸς λόγος καὶ πρὸ τῆς ἐνανθρωπήσεως υἱός, καὶ θεός, καὶ συνὼν τῷ πατρί· ἀνέλαβε δὲ ἐν ὑστέροις καιροῖς τὴν τοῦ δούλου μορφήν. *ἀλλ' ὢν πρὸ τούτου υἱὸς καὶ καλούμενος, μετὰ τὴν ἀνάληψιν οὐ δύναται καλεῖσθαι κεχωρισμένος υἱός, ἵνα μὴ δύο υἱοὺς δογματίσωμεν. ἀλλ' ἐπειδήπερ ἐκείνῳ συνῆπται τῷ ἐν ἀρχῇ ὄντι υἱῷ τῷ πρὸς αὐτὸν *συναφθέντι, οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις, διὰ τοῦτο καὶ διαίρεσιν *δέξασθαι· κατὰ τὸ ἀξίωμά φημι τῆς υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο καὶ Χριστὸς ὁ θεὸς λόγος ὀνομάζεται, ἐπειδήπερ ἔχει συνάφειαν τὴν πρὸς τὸν Χριστὸν διηνεκῆ.

*ἀλλ' ὤν

*ἴσ. συναφθέντα κατὰ τὸ ἀξίωμα.

*ἴσ. δέξασθαι δύναται κατὰ τὸ, &c. In Germanica editione totus hic locus sic habet: οὐ δύναται κατὰ τὸ ἀξίωμα τῆς υἱότητος διαίρεσιν δέξασθαι· κατὰ τὸ ἀξίωμά φημι υἱότητος, οὐ κατὰ τὰς φύσεις. διὰ τοῦτο ὁ Χριστὸς

Erat quidem Deus Verbum ante incarnationem & Filius, & Deus, & Patri coexistens: at vero in vltimis temporibus serui quoque formam assumpsit. Ceterum cum ante Filius esset, & Filius appellaretur; post carnem tamen assumptam seorsum per se Filii nomine appellari non debet, ne duos filios videamur inducere. Sed quoniam illi vnitus est qui in principio Filius erat, & ipsi coniunctus est, non potest quod quidem ad filiationis dignitatem attinet, non quod ad naturas, propterea etiam diuisionem recipere: secundum dignitatem dico filiationis, non secundum naturas. Vnde & Deus Verbum nominatur Christus, quoniam perpetuam cum Christo vnionem habet.